# In assumptionem domini

## Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου εἰς τὴν ἀνάληψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Θεία τις, ὡς ἔοικεν, ἡ παροῦσα πανήγυρις τὴν τοῦ Δεσπότου κατὰ τοῦ θανάτου νίκην ἀνακηρύττουσα· καὶ πρὸς αὐτὴν ἥκομεν τὴν πασῶν κορωνίδα τῶν ἑορτῶν. Νῦν γὰρ τέλος εἴληφε πάσης τῆς οἰκονομίας ἡμῖν τὸ κατόρθωμα· καὶ τῆς τῶν ἐπινικίων ἑορτῆς ὁ παρὼν καιρὸς ἥκει φέρων τὰ σύμβολα. Νυνὶ γὰρ εἰς οὐρανὸν ἀνήγαγεν ὁ Δεσπότης «τῶν ἡμετέρων σωμάτων τὴν ἀπαρχήν». Ἐπάνοδον τοίνυν δεσποτικὴν ἑορτάζομεν, καθ' ἣν πρὸς τὰ οὐράνια τὴν ἡμετέραν φύσιν μετέστησεν. Ἀνέστησε μὲν γὰρ τὸν ἑαυτοῦ ναὸν ὁ ἐνοικήσας Θεὸς καὶ συνήγαγεν ἑαυτῷ τὸ οἰκεῖον ἔνδυμα ὁ τὸ αἰθέριον πέλαγος περαιωσάμενος, τῇ μὲν θείᾳ φύσει διηνεκῶς τὰ πάντα πληρῶν, τῇ δὲ κατὰ σάρκα οἰκονομίᾳ πρότερον μὲν ὑπὸ γῆν ἐλθών, ὕστερον δὲ μετὰ τὴν κατὰ τοῦ θανάτου νίκην τῷ οἰκείῳ σώματι τὸ οὐράνιον ἀποπληρώσας οἰκητήριον. «Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;» Τίς τῆς τοσαύτης οἰκονομίας ἐξηγήσασθαι δυνηθείη λόγος τὸ μέγεθος; τίς τῆς ἀῤῥήτου φιλοτιμίας τοῦ Δεσπότου διὰ γλώσσης ἀνακηρύξει τὸν ἄπειρον πλοῦτον;

Ὃν γὰρ ἐξέβαλε τῆς ἐν παραδείσῳ διαίτης ἡ ἁμαρτία, τοῦτον εἰς οὐρανὸν ἀνήγαγεν ἡ θεία χάρις. Ἐβόων οἱ τοῦ θανάτου πυλωροὶ τὴν ξένην κάθοδον τοῦ παραδόξως αὐτοῖς ἐπιφοιτήσαντος θεώμενοι· «Τίς οὗτος ὁ βασιλεὺς τῆς δόξης»; Ταύτην ἀφῆκαν τὴν φωνὴν καὶ αἱ δυνάμεις αἱ ὑπερουράνιοι, τὸ ξένον θέαμα καταπλαγέντες τοῦ μετὰ σώματος ἀνεληλυθότος. «Ἄρατε, γάρ φησι, πύλας οἱ ἄρχοντες ὑμῶν καὶ ἐπάρθητε πύλαι αἰώνιοι καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης». Ἀνήγαγε γὰρ τὴν ἀνθρωπείαν φύσιν ὁ τὸ ἡμῖν ὁμογενὲς ἑαυτῷ συμμεταστήσας. Παράδοξος ἡ ἄνοδος τοῦ ἀνθρωπίνως πεφηνότος· θεία γὰρ καὶ ἡ κάθοδος τοῦ παρὰ φύσιν ἐκ παρθένου ἀποτεχθέντος. Ἄνθρωπος τὸ ὁρώμενον, ἀλλὰ Θεὸς τὸ νοούμενον. παρακάλυμμα πεποίηται τὴν ἡμετέραν φύσιν τῆς ἀθεάτου θεότητος· «Θεὸν, γάρ φησιν, οὐδεὶς ἑώρακε πώποτε. Ὁ μονογενὴς υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο»· Ἧκεν ἡμῖν ὁ τῆς τοῦ Πατρὸς φύσεως ἀπαράλλακτον φέρων τὴν εἰκόνα· πέφηνεν ὁ τῆς πατρικῆς ὑποστάσεως χαρακτηρίζων τὴν ἀπερίγραφον θεότητα. Μορφὴ γὰρ ἦν ἐμφερὴς τοῦ γεννήσαντος· «Ὁ ἐν μορφῇ, γάρ φησι, Θεοῦ ὑπάρχων μορφὴν δούλου ἔλαβεν.» Οὐ διαψεύδεται τὴν ἡμετέραν φύσιν ἡ τοῦ δούλου μορφή. Ἐπαληθεύει τοίνυν καὶ τὴν πρὸς τὸν πατέρα ὁμοιότητα ἡ θεότης τοῦ γνησίου γεννήματος. Οὗτος τοίνυν τῇ ἡμετέρᾳ φύσει διὰ τῆς οἰκείας ἐνανθρωπήσεως τὴν σωτηρίαν πραγματευσάμενος νῦν πεπλήρωκεν τὸν τῆς οἰκονομίας σκοπόν· νῦν τῆς εἰς ἡμᾶς εὐεργεσίας εἴληφε τὸ κατόρθωμα καὶ τῇ θεότητι συνανείληφε τὸ συγγενὲς τῇ ἡμετέρᾳ φύσει ὁ τῷ σωματικῷ νέφει καλυπτόμενος καὶ παραπετάσματι τῆς οἰκείας θεότητος τὸ ἀνθρώπινον ἔνδυμα περιθέμενος· νῦν ὁ ἐπίγειος ὀφθεὶς οὐράνιος αὖθις γεγένηται οὐκ ἐν τόπῳ περιγραφόμενος κατὰ τὸ ἀπέραντον τῆς θεότητος, ἀλλὰ τῇ μὲν θείᾳ φύσει τὰ πάντα πληρῶν, ἄνθρωπος δὲ πεφηνὼς οἰκονομικῶς. «Ἐν σχήματι, γάρ φησιν, εὑρεθεὶς ὡς ἄνθρωπος» ἐκάλυπτε τὴν θεότητα ἀνθρωπίνῃ περιβολῇ.

Ταύτην τοίνυν ἀνήγαγεν εἰς οὐρανοὺς ὁ σύμπασαν τὴν δημιουργίαν παρὰ φύσιν ὑποστησάμενος. Οὐκ ἔχω τῆς πρὸ αἰώνων γεννήσεως αὐτοῦ διηγήσασθαι τὸν τρόπον· οὐκ ἐφικνεῖταί μοι ἡ γλῶσσα οὐδὲ τῆς ἐκ παρθένου προόδου ἑρμηνεῦσαι τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τόκον. Ἀνθρώπινα τὰ ὁρώμενα, ἀλλὰ θεῖα τὰ πιστευόμενα. «Τίς ἐστιν οὗτός φησιν ὁ βασιλεὺς τῆς δόξης»; Ταῦτα ἐβόων αἱ ὑπερκόσμιοι δυνάμεις. Ξένος ὁ ὁρμώμενος· παρὰ φύσιν γὰρ ὁ ἀνεληλυθώς· φωτοειδὴς μὲν γὰρ ἑωρᾶτο καὶ ἡ τοῦ σώματος θέα. Τῶν γὰρ θείων ἀκτίνων ἐδέξατο τὰς λαμπηδόνας. Ἀνήγαγε δὲ αὐτὴν εἰς οὐρανοὺς ὁ τὴν ἡμετέραν φύσιν ὑπελθών, ἵνα τοῖς ἐπὶ γῆς βατὸν ποιήσῃ τὸν οὐρανόν. Νεφέλη ὄχημα πεποίηται τῆς ἀνθρωπίνης αὐτοῦ περιβολῆς· κἀκείνης ἐποχούμενος πρὸς οὐρανὸν μετέστησε τὸ οἰκεῖον ἔνδυμα. Ὥσπερ τοίνυν τῆς ἐκ παρθένου γεννήσεως παρὰ φύσιν ἡ κύησις, οὕτω καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου παράδοξον τὸ θαῦμα. Πῶς γὰρ οἷόν τε ἀνθρωπίνῳ σώματι ὑπερπτῆναι τὰς οὐρανίας ἁψῖδας; Ἀλλ' ὅπερ οὐκ ἐπεδέ<χ>ετο ἡ φύσις, τοῦτο δεδώρηται ἡ χάρις. «Ἀνελήλυθε» καὶ ὁ δοῦλος οὐκ εἰς οὐρανὸν, ἀλλ' «ὡς εἰς τὸν οὐρανόν». Πολὺ γὰρ τὸ μέσον τῆς τοῦ δούλου ὑπαρξάσης κατὰ χάριν ὑποστάσεως καὶ τῆς τοῦ Δεσπότου θεοπρεποῦς ἐξουσίας. Ὁ μὲν γὰρ θαυμάσιος Ἡλίας ὁ τοῦ πυρίνου ἅρματος ἡνίοχος οὐχ ὑπερέπτη τὰς οὐρανίας ἁψίδας· ὁ δέ γε πρὸς τὰ οὐράνια μεταστήσας τὴν ἡμετέραν φύσιν βατὸν πεποίηκε τοῖς ἀνθρώποις τὸν οὐρανόν.

Νῦν πέρας εἰλήφασιν αἱ πρὸς τὸν οὐράνιον βασιλέα καταλλαγαὶ καὶ τὴν πάλαι τῷ Πατρὶ ἐκπεπολεμωμένην φύσιν ἀπεκατήλλαξε τῷ οἰκείῳ γεννήτορι ὁ τῇ θεότητι μὲν αὐτῷ συνημμένος, τῇ δέ γε ἀνθρωπείᾳ φύσει τὴν σωτηρίαν οἰκονομήσας διὰ τῆς εἰς ἡμᾶς ἐπιφοιτήσεως. Νῦν ἀνήγαγε τὸ ἡμῖν ὁμογενὲς ὁ μεσιτεύσας ἑκατέρᾳ φύσει. «Εἷς γάρ φησιν Θεός, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων». Ἄνθρωπος τὸ ὁρώμενον, Θεὸς δὲ τὸ πιστευόμενον. Τίς τὴν θαυμασίαν ταύτην ἄνοδον τοῦ παραδόξως ἀναληφθέντος λόγῳ παραστῆσαι δυνήσεται; Ἀλλ' ὅπερ οὐκ ἐφικνεῖται ἡ γλῶσσα, τοῦτο διδάσκει ἡ πίστις. Ἀνήγαγε γὰρ τῆς ἡμετέρας φύσεως τὴν ἀπαρχὴν ὁ τῷ σώματι καλυπτόμενος, ὥσπερ ἀπό τινος ληΐου εὐθαλοῦς δρᾶγμα τῷ Πατρὶ προσαγαγών.

Ταύτην τοίνυν τὴν σωτήριον ἀνάληψιν νῦν ἑορτάζομεν· ταύτην τὴν δεσποτικὴν ἄνοδον πανηγυρίζομεν ἀνυμνοῦντες τῆς ἀῤῥήτου δωρεᾶς τοῦ Δεσπότου τὸ μέγεθος καὶ τῆς ἐφ' ἡμῖν οἰκονομίας ἀνακηρύττοντες τὸ κατόρθωμα, ἵνα καὶ ἡμεῖς λάμψαντες διὰ τῶν κατορθωμάτων καὶ τοὺς τῆς δικαιοσύνης ἐπιδειξάμενοι καρπούς· πρὸς τὸ ἡμῖν ὁμογενὲς ἀναδραμεῖν σπουδάσωμεν καὶ πρὸς αὐτὸν φθάσωμεν τὸν θρόνον τὸν βασιλικὸν, ὅπου ὑπὲρ ἡμῶν ἀνήγαγε τὸ συγγενὲς ὁ ἐνδυσάμενος, ἵνα καὶ τῷ Δεσπότῃ συμβασιλεύσωμεν καὶ τῶν παρ' αὐτοῦ δωρεῶν ἀπολαύσωμεν, τῆς γῆς τὸν οὐρανὸν ἀνταλλαξάμενοι καὶ τῶν ἐπιγείων τὰ οὐράνια προτιμήσαντες, τὸν οὐράνιον πλοῦτον ἐμπορευσώμεθα, ὅπως τὰς παρὰ τοῦ Δεσπότου ἀμοιβὰς κομισώμεθα καὶ τῶν τοῦ Κυρίου δωρεῶν ἀπολαύσωμεν χάριτι τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.